22132952

International Baccalaureate®
Baccalauréat International
Bachillerato Internacional

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 2**

Friday 3 May 2013 (morning)

2 hours

INSTRUCTIONS TO CANDIDATES

- Do not open this examination paper until instructed to do so.
- Answer four questions from two genres only.
- The maximum mark for this examination paper is *[44 marks]*.




© International Baccalaureate Organization 2013

https://xtremepape.rs/

*Answer **four** questions from **two** genres **only**. These questions should be taken from the **two** genres you have studied.*

**Genre: Epic**

**Question 1. Homer *Odyssey* 9.37–57**

εἰ δ᾽ ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ᾽ ἐνίσπω,
ὅν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν ἰόντι.
Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
Ἰσμάρῳ· ἔνθα δ᾽ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ᾽ αὐτούς·
ἐκ πόλιος δ᾽ ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες
δασσάμεθ᾽, ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.
ἔνθ᾽ἢ τοι μὲν ἐγὼ διερῷ ποδὶ φευγέμεν ἡμέας
ἠνώγεα, τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο.
ἔνθα δὲ πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα
ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας ἕλικας βοῦς·
τόφρα δ᾽ ἄρ᾽οἰχόμενοι Κίκονες Κικόνεσσι γεγώνευν,
οἵ σφιν γείτονες ἦσαν, ἅμα πλέονες καὶ ἀρείους,
ἤπειρον ναίοντες, ἐπιστάμενοι μὲν ἀφ᾽ ἵππων
ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.
ἦλθον ἔπειθ᾽ ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ,
ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
ἡμῖν αἰνομόροισιν, ἵν᾽ἄλγεα πολλὰ πάθοιμεν.
στησάμενοι δ᾽ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσι,
βάλλον δ᾽ ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
τόφρα δ᾽ ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας.

(a) Give possible reasons for the raid by Odysseus's party against the Cicones. *[2 marks]*

(b) Translate ἐκ πόλιος… ἴσης (lines 41–42). *[3 marks]*

(c) Give **two** major reasons from lines 45–50 that could explain the Cicones' victory. *[2 marks]*

(d) Describe in detail the simile in line 51. *[3 marks]*



https://xtremepape.rs/

**Genre: Epic**

**Question 2. Homer *Odyssey* 9.106–129**

Κυκλώπων δ᾽ ἐς γαῖαν ὑπερφιάλων ἀθεμίστων
ἱκόμεθ᾽, οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν
οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ᾽ ἀρόωσιν,
ἀλλὰ τά γ᾽ ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται,
πυροὶ καὶ κριθαὶ ἠδ᾽ ἄμπελοι, αἵ τε φέρουσιν
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.
τοῖσιν δ᾽ οὔτ᾽ ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
ἀλλ᾽ οἵ γ᾽ ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
παίδων ἠδ᾽ ἀλόχων, οὐδ᾽ ἀλλήλων ἀλέγουσιν.
νῆσος ἔπειτα λάχεια παρὲκ λιμένος τετάνυσται,
γαίης Κυκλώπων οὔτε σχεδὸν οὔτ᾽ ἀποτηλοῦ,
ὑλήεσσ᾽· ἐν δ᾽ αἶγες ἀπειρέσιαι γεγάασιν
ἄγριαι· οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει,
οὐδέ μιν εἰσοιχνεῦσι κυνηγέται, οἵ τε καθ᾽ ὕλην
ἄλγεα πάσχουσιν κορυφὰς ὀρέων ἐφέποντες.
οὔτ᾽ ἄρα ποίμνῃσιν καταΐσχεται οὔτ᾽ ἀρότοισιν,
ἀλλ᾽ ἥ γ᾽ ἄσπαρτος καὶ ἀνήροτος ἤματα πάντα
ἀνδρῶν χηρεύει, βόσκει δέ τε μηκάδας αἶγας.
οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι,
οὐδ᾽ ἄνδρες νηῶν ἔνι τέκτονες, οἵ κε κάμοιεν
νῆας ἐϋσσέλμους, αἵ κεν τελέοιεν ἕκαστα
ἄστε᾽ ἐπ᾽ ἀνθρώπων ἱκνεύμεναι, οἷά τε πολλὰ
ἄνδρες ἐπ᾽ ἀλλήλους νηυσὶν περόωσι θάλασσαν·

(a) Scan lines Κυκλώπων… ἀθανάτοισιν (106–107). *[2 marks]*

(b) Give **two** reasons from lines 116–124 for the abundance of wildlife on the island facing the Cyclopes’s land. *[2 marks]*

(c) Describe how the literary style and the structure of the extract help us to understand the society and the way of life of the Cyclopes. Analyse the passage, supporting your argument with precise details from the text. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 3. Herodotus 7.34–35**

ἐς ταύτην ὦν τὴν ἀκτὴν ἐξ Ἀβύδου ὁρμώμενοι ἐγεφύρουν τοῖσι προσέκειτο, τὴν μὲν λευκολίνου Φοίνικες, τὴν δ᾽ ἑτέρην τὴν βυβλίνην Αἰγύπτιοι. ἔστι δὲ ἑπτὰ στάδιοι ἐξ Ἀβύδου ἐς τὴν ἀπαντίον. καὶ δὴ ἐζευγμένου τοῦ πόρου ἐπιγενόμενος χειμὼν μέγας συνέκοψέ τε ἐκεῖνα πάντα καὶ διέλυσε. ὡς δ᾽ ἐπύθετο Ξέρξης, δεινὰ ποιεύμενος τὸν Ἑλλήσποντον ἐκέλευσε τριηκοσίας ἐπικέσθαι μάστιγι πληγὰς καὶ κατεῖναι ἐς τὸ πέλαγος πεδέων ζεῦγος. ἤδη δὲ ἤκουσα ὡς καὶ στιγέας ἅμα τούτοισι ἀπέπεμψε στίξοντας τὸν Ἑλλήσποντον. ἐνετέλλετο δὲ ὦν ῥαπίζοντας λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα· “ὦ πικρὸν ὕδωρ, δεσπότης τοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθόν. καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε, ἤν τε σύ γε βούλῃ ἤν τε μή· σοὶ δὲ κατὰ δίκην ἄρα οὐδεὶς ἀνθρώπων θύει ὡς ἐόντι καὶ θολερῷ καὶ ἁλμυρῷ ποταμῷ.” τήν τε δὴ θάλασσαν ἐνετέλλετο τούτοισι ζημιοῦν καὶ τῶν ἐπεστεώτων τῇ ζεύξι τοῦ Ἑλλησπόντου ἀποταμεῖν τὰς κεφαλάς.

(a) ὡς δ᾽ ἐπύθετο … *ἀτάσθαλα* (lines 4–8). Give the Greek words, with English translation, that may show Herodotus’s criticism of Xerxes’s immoderate behaviour. *[2 marks]*

(b) Describe the punishments inflicted by Xerxes on the Hellespont. *[3 marks]*

(c) Why are the words ὡς καὶ στιγέας, *etc* (line 6) introduced by ἤδη δὲ ἤκουσα? Give possible explanations. *[2 marks]*

(d) Translate ὦ πικρὸν … ἁλμυρῷ ποταμῷ (lines 8–11). *[3 marks]*



https://xtremepape.rs/

**Genre: Historiography**

**Question 4. Herodotus 7.104**

πρὸς ταῦτα Δημάρητος λέγει "ὦ βασιλεῦ, ἀρχῆθεν ἠπιστάμην ὅτι ἀληθείῃ χρεώμενος οὐ φίλα τοι ἐρέω· σὺ δ᾽ ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι. καίτοι ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώια ἄπολίν τε καὶ φυγάδα πεποιήκασι, πατὴρ δὲ σὸς ὑποδεξάμενος βίον τέ μοι καὶ οἶκον ἔδωκε. οὐκ ὦν οἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὐνοίην φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα. ἐγὼ δὲ οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι οὔτε δυοῖσι, ἑκών τε εἶναι οὐδ᾽ ἂν μουνομαχέοιμι. εἰ δὲ ἀναγκαίη εἴη ἢ μέγας τις ὁ ἐποτρύνων ἀγών, μαχοίμην ἂν πάντων ἥδιστα ἑνὶ τούτων τῶν ἀνδρῶν οἳ Ἑλλήνων ἕκαστος φησὶ τριῶν ἄξιος εἶναι. ὣς δὲ καὶ Λακεδαιμόνιοι κατὰ μὲν ἕνα μαχόμενοι οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν, ἁλέες δὲ ἄριστοι ἀνδρῶν ἁπάντων. ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροί εἰσι· ἔπεστι γάρ σφι δεσπότης νόμος, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον ἢ οἱ σοὶ σέ. ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τὠυτὸ αἰεί, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι. σοὶ δὲ εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα σιγᾶν θέλω τὸ λοιπόν· νῦν τε ἀναγκασθεὶς ἔλεξα. γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ."

(a) Explain the sarcasm contained in the words ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους (line 3). *[2 marks]*

(b) What does Demaratus mean by saying ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροί εἰσι (lines 11–12)? Providing just a translation will not be valid. *[2 marks]*

(c) Analyse Demeratus's answer to Xerxes and illustrate, giving precise details from the text, its literary features. *[8 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 5. Euripides *Hippolytus* 304–329**

**(Τροφός)**
ἀλλ᾽ ἴσθι μέντοι — πρὸς τάδ᾽ αὐθαδεστέρα
γίγνου θαλάσσης — εἰ θανῇ, προδοῦσα σοὺς
παῖδας, πατρῴων μὴ μεθέξοντας δόμων,
μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
νόθον φρονοῦντα γνήσι᾽, οἶσθά νιν καλῶς,
Ἱππόλυτον…
**(Φαίδρα)**
οἴμοι.
**(Τροφός)**
θιγγάνει σέθεν τόδε;
**(Φαίδρα)**
ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
τοῦδ᾽ ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.
**(Τροφός)**
ὁρᾷς; φρονεῖς μὲν εὖ, φρονοῦσα δ᾽ οὐ θέλεις
παῖδάς τ᾽ ὀνῆσαι καὶ σὸν ἐκσῶσαι βίον.
**(Φαίδρα)**
φιλῶ τέκν᾽· ἄλλῃ δ᾽ ἐν τύχῃ χειμάζομαι.
**(Τροφός)**
ἁγνὰς μέν, ὦ παῖ, χεῖρας αἵματος φορεῖς;
**(Φαίδρα)**
χεῖρες μὲν ἁγναί, φρὴν δ᾽ ἔχει μίασμά τι.
**(Τροφός)**
μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;
**(Φαίδρα)**
φίλος μ᾽ ἀπόλλυσ᾽ οὐχ ἑκοῦσαν οὐχ ἑκών.
**(Τροφός)**
Θησεύς τιν᾽ ἡμάρτηκεν ἐς σ᾽ ἁμαρτίαν;
**(Φαίδρα)**
μὴ δρῶσ᾽ ἔγωγ᾽ ἐκεῖνον ὀφθείην κακῶς.
**(Τροφός)**
τί γὰρ τὸ δεινὸν τοῦθ᾽ ὅ σ᾽ ἐξαίρει θανεῖν;
**(Φαίδρα)**
ἔα μ᾽ ἁμαρτεῖν· οὐ γὰρ ἐς σ᾽ ἁμαρτάνω.



https://xtremepape.rs/

**(Τροφός)**
οὐ δῆθ᾽ ἑκοῦσά γ᾽, ἐν δὲ σοὶ λελείψομαι.
**(Φαίδρα)**
τί δρᾷς; βιάζῃ χειρὸς ἐξαρτωμένη;
**(Τροφός)**
καὶ σῶν γε γονάτων, κοὐ μεθήσομαί ποτε.
**(Φαίδρα)**
κάκ᾽ ὦ τάλαινά σοι τάδ᾽, εἰ πεύσῃ, κακά.
**(Τροφός)**
μεῖζον γὰρ ἤ σου μὴ τυχεῖν τί μοι κακόν;
**(Φαίδρα)**
ὀλῇ. τὸ μέντοι πρᾶγμ᾽ ἐμοὶ τιμὴν φέρει.

(a) Explain the meaning of the words νόθον φρονοῦντα γνήσι᾽ (line 309). Who is the nurse referring to? Why does she use these words? *[3 marks]*

(b) Translate ὁρᾷς … χειμάζομαι (lines 313–315). *[3 marks]*

(c) What is the technical name for the action described in lines 325–326? What does the action involve in order to be valid? *[2 marks]*

(d) What does Phaedra mean by saying that "the affair brings honour to me" (τὸ μέντοι πρᾶγμ᾽ ἐμοὶ τιμὴν φέρει, line 329)? *[2 marks]*



https://xtremepape.rs/

**Genre: Tragedy**

**Question 6. Euripides *Hippolytus* 905–931**

**(Ἱππόλυτος)**
ἔα, τί χρῆμα; σὴν δάμαρθ᾽ ὁρῶ, πάτερ,
νεκρόν· μεγίστου θαύματος τόδ᾽ ἄξιον·
ἣν ἀρτίως ἔλειπον, ἣ φάος τόδε
οὔπω χρόνος παλαιὸς εἰσεδέρκετο.
τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;
πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα.
σιγᾷς· σιωπῆς δ᾽ οὐδὲν ἔργον ἐν κακοῖς·
ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
κἀν τοῖς κακοῖσι λίχνος οὖσ᾽ ἁλίσκεται.
οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους,
κρύπτειν δίκαιον σάς, πάτερ, δυσπραξίας.
**(Θησεύς)**
ὦ πόλλ᾽ ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ᾽ οὐκ ἐπίστασθ᾽ οὐδ᾽ ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς;
**(Ἱππόλυτος)**
δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
τοὺς μὴ φρονοῦντας δυνατός ἐστ᾽ ἀναγκάσαι.
ἀλλ᾽ οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ,
δέδοικα μή σου γλῶσσ᾽ ὑπερβάλλῃ κακοῖς.
**(Θησεύς)**
φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ᾽ ἀληθής ἐστιν ὅς τε μὴ φίλος,
δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν, τὴν δ᾽ ὅπως ἐτύγχανεν,
ὡς ἡ φρονοῦσα τἄδικ᾽ ἐξηλέγχετο
πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.

(a) Scan ἔα … ἄξιον (lines 905–906). *[2 marks]*

(b) Analyse the dialogue between Hippolytus and Theseus and explain, giving precise details from the text, how Euripides's style creates such a dramatic effect. *[8 marks]*

(c) What do we learn about Theseus's opinion of Hippolytus from lines 928–931 (δισσάς … ἠπατώμεθα)? *[2 marks]*



https://xtremepape.rs/

Blank page



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 7. Aristophanes *Clouds* 891–919**

**(Ἄδικος Λόγος)**
ἴθ᾿ ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλόν σ᾿
ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
**(Δίκαιος Λόγος)**
ἀπολεῖς σύ; τίς ὤν;
**(Ἄδικος Λόγος)**
λόγος.
**(Δίκαιος Λόγος)**
ἥττων γ᾿ ὤν.
**(Ἄδικος Λόγος)**
ἀλλά σε νικῶ τὸν ἐμοῦ κρείττω
φάσκοντ᾿ εἶναι.
**(Δίκαιος Λόγος)**
τί σοφὸν ποιῶν;
**(Ἄδικος Λόγος)**
γνώμας καινὰς ἐξευρίσκων.
**(Δίκαιος Λόγος)**
ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
τοὺς ἀνοήτους.
**(Ἄδικος Λόγος)**
οὔκ, ἀλλὰ σοφούς.
**(Δίκαιος Λόγος)**
ἀπολῶ σε κακῶς.
**(Ἄδικος Λόγος)**
εἰπέ, τί ποιῶν;
**(Δίκαιος Λόγος)**
τὰ δίκαια λέγων.
**(Ἄδικος Λόγος)**
ἀλλ᾿ ἀνατρέψω γ᾿ αὔτ᾿ ἀντιλέγων·
οὐδὲ γὰρ εἶναι πάνυ φημὶ δίκην.
**(Δίκαιος Λόγος)**
οὐκ εἶναι φῄς;
**(Ἄδικος Λόγος)**
φέρε γάρ, ποῦ 'στιν;
**(Δίκαιος Λόγος)**
παρὰ τοῖσι θεοῖς.
**(Ἄδικος Λόγος)**
πῶς δῆτα δίκης οὔσης ὁ Ζεὺς
οὐκ ἀπόλωλεν, τὸν πατέρ᾿ αὑτοῦ
δήσας;
**(Δίκαιος Λόγος)**
αἰβοῖ, τουτὶ καὶ δὴ
χωρεῖ τὸ κακόν· δότε μοι λεκάνην.



https://xtremepape.rs/

**(Ἄδικος Λόγος)**
τυφογέρων εἶ κἀνάρμοστος.
**(Δίκαιος Λόγος)**
καταπύγων εἶ κἀναίσχυντος.
**(Ἄδικος Λόγος)**
ῥόδα μ᾽ εἴρηκας.
**(Δίκαιος Λόγος)**
καὶ βωμολόχος.
**(Ἄδικος Λόγος)**
κρίνεσι στεφανοῖς.
**(Δίκαιος Λόγος)**
καὶ πατραλοίας.
**(Ἄδικος Λόγος)**
χρυσῷ πάττων μ᾽ οὐ γιγνώσκεις.
**(Δίκαιος Λόγος)**
οὐ δῆτα πρὸ τοῦ γ᾽, ἀλλὰ μολύβδῳ.
**(Ἄδικος Λόγος)**
νῦν δέ γε κόσμος τοῦτ᾽ ἐστὶν ἐμοί.
**(Δίκαιος Λόγος)**
θρασὺς εἶ πολλοῦ.
**(Ἄδικος Λόγος)**
σὺ δέ γ᾽ ἀρχαῖος.
**(Δίκαιος Λόγος)**
διὰ σὲ δὲ φοιτᾶν
οὐδεὶς ἐθέλει τῶν μειρακίων·
καὶ γνωσθήσει ποτ᾽ Ἀθηναίοις
οἷα διδάσκεις τοὺς ἀνοήτους.

(a) Illustrate the use of the term σοφός in this extract. What do the Just and Unjust Argument mean with it? *[2 marks]*

(b) Explain the argument used by the Unjust Argument against the existence of justice. *[3 marks]*

(c) Outline the reciprocal insults of the Just and Unjust Argument, giving **one** example (both in Greek and in English) for each of them. *[2 marks]*

(d) Translate διὰ σὲ … τοὺς ἀνοήτους (lines 916–919). *[3 marks]*



https://xtremepape.rs/

**Genre: Comedy**

**Question 8. Aristophanes *Clouds* 275–297**

**(Χορός)**
ἀέναοι Νεφέλαι,
ἀρθῶμεν φανεραὶ δροσερὰν φύσιν εὐάγητον,
πατρὸς ἀπ᾽ Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρπούς τ᾽ ἀρδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαισιν αὐγαῖς.
ἀλλ᾽ ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν.
**(Σωκράτης)**
ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.
ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;
**(Στρεψιάδης)**
καὶ σέβομαί γ᾽, ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι·
κεἰ θέμις ἐστίν, νυνί γ᾽ ἤδη, κεἰ μὴ θέμις ἐστί, χεσείω.
**(Σωκράτης)**
οὐ μὴ σκώψει, μηδὲ ποιήσεις ἅπερ οἱ τρυγοδαίμονες οὗτοι,
ἀλλ᾽ εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

(a) Give **two** words in the original Greek related to the sound of water, explaining to whom or what they apply. *[2 marks]*

(b) Translate the words μέγα γάρ τι θεῶν κινεῖται σμῆνος (line 297) and explain what they refer to. *[2 marks]*

(c) Comment on the stylistic features of the passage with special regard to the comic qualities of the text. Support your argument with precise details. *[8 marks]*



https://xtremepape.rs/

Blank page



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 9. Plato *Apology* 21e–22c**

μετὰ ταῦτ᾽ οὖν ἤδη ἐφεξῆς ᾖα, αἰσθανόμενος μὲν καὶ λυπούμενος καὶ δεδιὼς ὅτι ἀπηχθανόμην, ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι – ἰτέον οὖν, σκοποῦντι τὸν χρησμὸν τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες Ἀθηναῖοι – δεῖ γάρ πρὸς ὑμᾶς τἀληθῆ λέγειν – ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν θεόν, ἄλλοι δὲ δοκοῦντες φαυλότεροι ἐπιεικέστεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι ὥσπερ πόνους τινὰς πονοῦντος ἵνα μοι καὶ ἀνέλεγκτος ἡ μαντεία γένοιτο. μετὰ γὰρ τοὺς πολιτικοὺς ᾖα ἐπὶ τοὺς ποιητὰς τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα ἐπ᾽ αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα ἅ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτοὺς τί λέγοιεν, ἵν᾽ ἅμα τι καὶ μανθάνοιμι παρ᾽ αὐτῶν. αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν ὀλίγου αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. ἔγνων οὖν αὖ καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασιν δὲ οὐδὲν ὧν λέγουσι.

(a) At which stage of Socrates’s trial, and before whom, is this speech uttered? *[2 marks]*

(b) τὸ τοῦ θεοῦ (line 2). Explain which episode this expression refers to. *[2 marks]*

(c) Translate οἱ μὲν μάλιστα … φρονίμως ἔχειν (lines 5–7). *[3 marks]*

(d) On what grounds does Socrates criticise the poets in this extract? *[3 marks]*



https://xtremepape.rs/

**Genre: Philosophy**

**Question 10. Plato *Apology* 36b–37a**

τιμᾶται δ᾽ οὖν μοι ὁ ἀνὴρ θανάτου. εἶεν· ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτεῖσαι, ὅτι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ᾽ ἀμελήσας ὧνπερ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν καὶ συνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε εἰς ταῦτ᾽ ἰόντα σῴζεσθαι, ἐνταῦθα μὲν οὐκ ᾖα οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ᾖα, ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι πρὶν ἑαυτοῦ ἐπιμεληθείη ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως, τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι – τί οὖν εἰμι ἄξιος παθεῖν τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά γε ἀγαθὸν τοιοῦτον ὅτι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ᾽ ὅτι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως ὡς τὸν τοιοῦτον ἄνδρα ἐν πρυτανείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ συνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπίασιν· ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι, καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ σιτήσεως.

(a) Why does Socrates, at the very beginning of the extract, propose an alternative penalty? *[2 marks]*

(b) Which justifications does Socrates give for neglecting what most men care for in lines 3–7 (ἀμελήσας … ὄφελος εἶναι)? *[2 marks]*

(c) Analyse Socrates's speech. Consider both the structure and literary features of his argument, giving precise details from the text. *[8 marks]*



https://xtremepape.rs/